τῦ μαιευτικῦ χαρακτῆρος διαλόγοις δεήσει ἐντυγχάνειν. Τῦτο γάρ ἐσιν αὐτῶν ἴδιον. Εἴγε ἐν τύτοις ἔσι μὲν τὰ Φυσικὰ δόγματα, ἔσι δὲ καὶ τὰ ἠθικὰ καὶ τὰ πολιτικὰ καὶ οἰκονομικά, ὧν τὰ μὲν ἐπὶ θεωρίᾳ καὶ τὸν θεωρητικὸν βίον ἔχει τὴν ἀναφορὰν, τὰ δὲ ἐπὶ πράξιν καὶ τὸν πρακτικὸν βίον. Ἄμφω δὲ ταῦτα ἐπὶ τῷ ὁμοιωθῆναι Θεῷ. Ἵνα δὲ τὰ δεθέντα ἄφυκτα ἡμῖν ὑπάρχῃ, τοῖς τῦ λογικῦ χαρακτῆρος διαλόγοις, ὄντος καὶ αὐτῦ ζητητικῦ, δεήσει ἐντυγχάνειν. ἔχυσι γὰρ τάς τε διαιρετικὰς καὶ ὁρισικὰς μεθόδυς, καὶ πρόσγε ἀναλυτικὰς καὶ συλλογισικάς. Δι' ὧν τὰ μὲν ἀληθῆ ἀποδείκνυται, τὰ δὲ ψευδῆ ἐλέγχεται. Πρὸς δὲ τύτοις ἐπεὶ δεῖ καὶ ἀπαραλογίσυς ὑπὸ τῶν σοφισῶν εἶναι, τοῖς τῦ ἐπιδεικτικῦ χαρακτῆρος διαλόγοις ἐντευξόμεθα. Ἐν οἷς ἐσιν ἐκμαθεῖν ὅπως τε δεῖ ἐπαίειν τῶν σοφισῶν, καὶ ὅπως καὶ ὁντινα τρόπον προσφέρεσθαι παιδεργῦσι περὶ τὺς λόγυς.

ΕΥΘΥΦΡΩΝ